# TEZAUR LITURGIC

## 29 OCTOMBRIE

## ISIDORA AGHIROTITISSA

# PARACLISUL SF.CUVIOASE ANA-EUFIMIAN DE LA CONSTANTINOPOL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 ΟΚΤΩΒΡΙΟΣ
# ΑΝΝΑ ΟΣΙΑ Η ΜΕΤΟΝΟΜΑΣΘΕΙΣΑ ΕΥΦΗΜΙΑΝΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

## Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῶν γεηρῶν τὰς ἡδονὰς παριδοῦσα, καὶ ἀνδρικῇ ἐν συνοδείᾳ κρυβεῖσα, θεοφεγγῶς ἐστήριξας παμμάκαρ τὸν νοῦν, Πνεύματος ταῖς λάμψεσιν, ἀδαπάνητον χάριν· ὅθεν ἀναβλύζουσα, τοῖς ποθοῦσιν εὐφρόνως, ἰχνηλατῆσαι δρόμον τοῦ Χριστοῦ, Ἄννα λιταῖς σου, ἡμᾶς φωταγώγησον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἄννα, προσδέχου ἐμὴν ἱκεσίαν. Ἰσιδώρας Μ.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ἀλήκτῳ λατρεύουσα χαρμονῇ, πανεύφημε Ἄννα, Θεαρχίαν τὴν τριφαῆ, τὸ σκότο διάλυσον νοός μου, ταῖς ἀστραπαῖς θεαυγοῦς ταπεινώσεως.

Νικήσασα Μῆτερ τὰς ἀπηνεῖς, ἐφόδους τοῦ πλάνου, παντευχίᾳ σου ἀῤῥαγεῖ, ἐνίσχυσον Πνεύματος τῷ σθένει, τοὺς ἀνυμνοῦντας τὸν ξένον σου δίαυλον.

Νευρώσασα πίστει θεουργικῇ, τοῦ θήλεος φύσιν, ἐνεδύθης ὑπομονήν· διόπερ γενοῦ μοι ἀντιλήπτωρ, εἰς μετανοίας πορείαν τὴν δύσβατον.

*Θεοτοκίον.*

Ἀγρύπνοις πρεσβείαις Σου ἀγαθή, ἀθλίαν ψυχήν μου, ἐκκαθαίρουσα μυστικῶς, ἀνάδειξον ἔγχρυσον φορεῖον, τοῦ Ζωοδότου Υἱοῦ Σου πανάχραντε.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Πρυτανεύουσα Ἄννα, θεοφεγγεῖς χάριτας, δώρησαι ἡμῖν καρτερίας, τὴν ἱλαρότητα· καὶ γὰρ τοῦ σύζυγος, καὶ τῶν τεκνίων τὸν πότμον, πρόσκλησιν λελόγισαι, θείας ἀθλήσεως.

Ῥυομένη μανίας, τοῦ φθονεροῦ δράκοντος, Ἄννα συμπαθείας ἰσχύϊ, πάντας ὀχύρωσον, ἵνα οἰκτίρμονι, καὶ φιλαδέλφῳ καρδίᾳ, λύωμεν σκοτόμαιναν, ταῆς κατακρίσεως.

Ὀδυνώμενον σφόδρα, ἐν ἀλγεινοῖς πάθεσιν, ἴασαι κἀμὲ ταῖς εὐχαῖς σου, νέμουσα ἄφεσιν· καὶ γὰρ κατηύγασας, ἐν ἀρχιφώτῳ εὐκλείᾳ, Ὄλυμπον καὶ Βόσπορον, Ἄννα θεόφωτε.

*Θεοτοκίον.*

Σελασφόρῳ δεήσει, ἀγαθουργὲ ἄχραντε, φώτισον σεπτὴν Ἐκκλησίαν, διασκεδάζουσα, τῆς ἀγνωσίας

ἀχλύν, καὶ μητρικῇ Σου εὐνοίᾳ, γνῶσιν ἐπομβρίζουσα τὴν ἀκατάληκτον.

Διάσωσον, ἐκ ψυχοφθόρων παγίδων τοῦ ἀρχεκάκου, τοὺς ἐν πίστει πανευλαβεῖ, εὐφρόνως προστρέχοντας, θεόῤῥυτε Ἄννα, τῇ σῇ πρεσβείᾳ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἐν πεύκῃ κλεινῇ, καὶ κέδρῳ κυπαρίσσῳ τε, πιστῶν θεαυγῆ προσείλκυσας συνέλευσιν, εἰς ὀσμὴν ἀρώματος, Ζωοδότου Ἄννα καλλίνικε, Ἀβραμιτῶν Μονὴν θεουργικήν, ἐγείρασα Προῦσαν εἰς πανόλβιον.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Δεξαμένη δεήσεις μου, Ἄννα θεοδώρητε τὴν παράλογον, τῆς οἰήσεως ἀφάνισον, μῆνιν τὴν ἀόκνως πολεμοῦσάν με.

Εὐεργέτις ὡς ἄμπελος, Εὐφημιανέ με ἀῤῥήτως γλύκανον, εὐμενείας σου τοῖς βότρυσι, Μάνδραν τοῦ Ὀλύμπου καθηδύνασα.

Χαρμοσύνοις φωτίσμασι, ζόφωσιν κατάργησον ἀπογνώσεως, ἡ τὴν Προῦσαν ἀγλαΐσασα, Ἄννα ἐλπιδώροις σου χαρίσμασι.

*Θεοτοκίον.*

Ὁλοχρύσεον ἔνδυμα, φέρουσα Θεόνυμφε καθαρότητος, γυμνωθέντα με τοῖς πάθεσι, σκέπασον ἐν ὥρᾳ τῆς ἐτάσεως.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὕψωσας λαμπρῶς, Μῆτερ Ἄννα τὸν Οἰκτίρμονα, ὑετίζουσα λιταῖς σου φαειναῖς, ἱλασμοὺς τοῖς ἐκζητοῦσι τὰς δεήσεις σου.

Ἔπαρον Χριστοῦ, θείας χεῖράς σου πανεύφημε, καὶ παράσχου ὑμνηταῖς σου τὴν χαράν, κατευνάζουσαν τῶν θλίψεων τὴν κάμινον.

Μέμνησο ἡμῶν, ἀνυμνούντων σε πανάριστε, σὺν τῷ θείῳ σου ἀγλώττῳ ἀσκητῇ, διὰ σέβας τῶν Εἰκόνων μαρτυρήσαντι.

*Θεοτοκίον.*

Ἥδυνον ἡμᾶς, ἐξαλείφουσα πικρότητα, τῆς ἀρχαίας παραβάσεως ἁγνή, καὶ δωροῦσα τὴν ἀρχέγονον λαμπρότητα.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Νενίκημαι, δυσμενοῦς τοῖς βέλεσι, καὶ τραυμάτων ἀλγηδόσι στενάζω· διὸ τῇ σκέπῃ σου Ἄννα προστρέχω, ἐπιζητῶν ἀκεσώδυνα φάρμακα. Καὶ γὰρ ἐν σοὶ θεοπρεπῶς, ἐδοξάσθη Χριστοῦ τὸ μαρτύριον.

Ἰθύνασα, τοῦ νοὸς ὁρμήματα, εἰς τρισσόφωτον Χριστοῦ κοινωνίαν, τῶν Σεραφεὶμ προσεδέξω τὴν

καῦσιν, καθυπομείνασα χλεύης ἀπήνειαν· διὸ ἰάτωρ θαυμαστή, ψυχοφθόρων παθῶν μου γενήθητι.

Καλλίστεφος, μοναζόντων ἄγγελος, ἐνυπάρχουσα πανάριστε Ἄννα, ἀλαζονείας δεινὴν δυσωδίαν, ἐκ τῆς ψυχῆς μου ἐξάλειψον, δέομαι· καὶ γὰρ μυρίπνοον Υἱόν, ἐν ὀσμῇ τῆς κενώσεως εἵλκυσας.

*Θεοτοκίον.*

Εὐφραίνουσα, ταπεινῶν τὸ σύστημα, λαμπηδόσι χαρμοσύνου ἀγάπης, ἐν τῷ βαράθρῳ ἀθλίας ψυχῆς μου, αὐτογνωσίας τὸ φῶς ἐξαπόστειλον. Φωτὸς ὑπάρχουσα τροφός, καὶ βροτῶν τιθηνὸς πανακήρατος.

Διάσωσον, ἐκ ψυχοφθόρων παγίδων τοῦ ἀρχεκάκου, τοὺς ἐν πίστει πανευλαβεῖ, εὐφρόνως προστρέχοντας, θεόῤῥυτε Ἄννα, τῇ σῇ πρεσβείᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ὡς τοῦ Ὀλύμπου ἡδύῤῥυτος μέλισσα, ἐν τῷ κηρίῳ τῆς πίστεως ἥδυνας, σεπτῶν μοναστῶν τὰ συστήματα, ἀῤῥενωθεῖσα Τριάδος ἐμπνεύσεσιν, ὦ Ἄννα, Βοσπόρου τὸ καύχημα.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, τῶν δέκα Παρθένων. Ζήτει αὐτὸ τῷ ΙΖ’ Σαββάτῳ τοῦ Ματθαίου.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τῆς Σῆς Ὁσίας…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλέησόν με ὁ Θεός…*

Πόθῳ τοῦ Παντάνακτος, ὑπενεγκοῦσα ἐνθέως, σύζυγος καὶ τέκνων σου στέρησιν ἀδήριτον, Ἄννα ἔνδοξε, εἰς βουνοὺς ἔδραμες, τῆς θεογνωσίας, ἀνδρωθεῖσα ἐν χρηστότητι· ὅθεν εἰς Ὄλυμπον, ἔλαφος καθάπερ ταχύδρομος, τοὺς ὄφεις διεσπάραξας, Εὐφημιανοῦ ἐν τῷ σχήματι. Καὶ νῦν δεχομένη, Χριστοῦ φωτοχυσίαν τριφαῆ, τοῖς ὑμνηταῖς σου πρυτάνευσον, πταισμάτων τὴν ἄφεσιν.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Στεῤῥοτάτῃ καρδίᾳ, ἀνδρικῶς ὑπερβᾶσα, θηλείας χαύνωσιν, ἰσχύϊ μαρτυρίας, καὶ σθένει εὐτολμίας, τοὺς κραυγάζοντας ἔνδυσον· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἱλαρότητι θείᾳ, τὸν φλογμὸν αἰσθομένη, δεινῶν καὶ θλίψεων, Τριάδος ἐν τοῖς ὄμβροις, μετάβαλε εἰς

δρόσον, φλογοτρόφον στυγνότητα, τῶν ἐναγῶν μου παθῶν, ὦ Ἄννα θεσπεσία.

Ἀλγεινῶν σηπεδόνων, καὶ ἀπείρων τραυμάτων, ὑπάρχων ἔμπλεως, προσφεύγω σου τῇ σκέπῃ, αἰτούμενος τὴν ῥῶσιν, τῆς ψυχῆς καὶ τοῦ σώματος, Ἄννα τερπνὴ λαμπηδών, σεπτῆς ἐπιεικείας.

*Θεοτοκίον.*

Νεουργεῖς τὰς καρδίας, ἐν τῷ οἴνῳ ἀγάπης τοῦ Πανοικτίρμονος, Παρθένε μεταδοῦσα, τὴν μέθην θεουργίας, τοῖς ἐν πίστει κραυγάζουσιν· Ὁ Σαρκωθεὶς δι' ἡμᾶς, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἴδοιμι αἴγλην, φαεινοτάτης μορφῆς σου, Μῆτερ Ἄννα ἐν ὥρᾳ ἐξόδου, πίστει δυναμοῦσαν, τὴν ἔντρομον ψυχήν μου.

Σίγμα φαιδρύνεις, τοῦ Βυζαντίου θεόφρον, ἐν τοῖς πόνοις ἀσκήσεως ξένης, Ἄννα δωρουμένη, ἐνθέους παρακλήσεις.

Ἵνα εὐφράνῃς, τοὺς ταπεινούς σου ἱκέτας, μετανοίας κατάρδευσον ὄμβροις, πίστει προσκυνοῦντας, εἰκόνα σου ἁγίαν.

*Θεοτοκίον.*

Δωροφοροῦσα, τῇ Ἐκκλησίᾳ τὴν χάριν, τοῦ ἐλέους ἐκχέεις τὰ ῥεῖθρα, Κόρη ὡς χειμάῤῥους, ἀχράντου εὐλογίας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ὡραίως χορηγοῦσα, τῆς υἱοθεσίας, εἰρηνοδώρους ἐλλάμψεις ἀγάθυνον, τὰς σκοτεινάς μου ἐννοίας ἀειμακάριστε.

Ῥωννύουσα ἐμπύρως, τοὺς ἀπεγνωκότας, τοῦ Παρακλήτου φαιδραῖς ἀντιλήψεσιν, ἐλπιδοφόρον ὑπάρχεις ἡμῶν ἐχέγγυον.

Ἀνάψυξιν παρέχεις, τοῖς ἀπεῤῥιμμένοις, ἐν τῷ βοθύνῳ πικρᾶς κατακρίσεως, τῆς ἁμαρτίας διώκουσα τὴν σκοτόμαιναν.

*Θεοτοκίον.*

Σταλάζεις εὐφροσύνην, Μῆτερ Θεοτόκε, τῶν ταπεινῶν ταῖς εὐώδεσι τάξεσι, κενοδοξίας τοὺς πύργους κατεδαφίζουσα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις Βυζαντίου ἡ φωτουργός, μετονομασθεῖσα, νουνεχῶς Εὐφημιανός, Μάνδραν μοναζόντων, ἐγείρασα ἐν Προύσῃ, καὶ κάλλος ἐνδυθεῖσα, Ἄννα ἀρχίφωτον.

Χαίροις τοῦ Βοσπόρου ἁγιασμός, καὶ τῆς Ἐκκλησίας, ἀπειρόδωρος τιθηνός, νήψεως τῷ ἄρτῳ,

ἐκτρέφουσα τὸν Λόγον καὶ οἴνῳ ἀφανείας, τοῦτον μεθύσκουσα.

Χαίροις τοῦ Ὀλύμπου ἀμαρυγή, Ἄννα θεηγόρε, ἀνδρωθεῖσα τρισσοφαεῖ, χάριτι τοῦ Λόγου, καὶ νείμασα ἐν κόσμῳ, ἐνθέου παρακλήσεις, τῆς Ἀναστάσεως.

Πόθῳ κατετρώθης τοῦ Ποιητοῦ, οὐδόλως πληγεῖσα, ταῖς τοξείαις τοῦ πτερνιστοῦ, ὃν κατετροπώσω, ὀθνείᾳ ταπεινώσει, τὴν Λαύραν τοῦ Ὀλύμπου, Ἄννα στηρίξασα.

Ἄσωμεν σεπτὸν Εὐφημιανόν, κρύψαντα εὐφρόνως, θείας Ἄννης εὐλογητόν, ὄλβον ἀφθαρσίας, πλουσίως ἐκχεούσῃ, ἰάσεων ἀπείρων, θεῖα χαρίσματα.

Ἄννα ἐνδυθεῖσα τὰς ἀστραπάς, θείου σου φωσφόρου, ἰχνηλάτησας ἐν χαρᾷ, δρόμον ξενιτείας, καλῶς ἀπωσαμένη, ἡδέων τὴν ἀπάτην, καὶ ματαιότητα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν

ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Μέλι, γεγευμένη μυστικῶς, τῆς τρισσοφαοῦς κοινωνίας, Ἄννα καλλίφωτε, νέμεις τὴν γλυκύτητα, ταῖς ἀγαθότητος, λυτρουμένη κακώσεων, παθῶν καὶ κινδύνων, πάντας τοὺς ὑμνοῦντάς σε, ἐν καθαρότητι· ὅθεν, ἱλαρῶς ἐκβοῶμεν· Χαίροις τοῦ Ὀλύμπου ἡ κέδρος, πνέουσα ὀσμὴν τῆς Ἀναστάσεως.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

